ἔνια δὲ τέρπει καινὰ ὄντα· ὕστερον δὲ οὐχ ὁ- A μοίως διὰ ταῦτα· τὸ μὲν γὰρ πρῶτον παρα-κέκληται ἡ διάνοια, καὶ διατεταμένως περὶ αὐτὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες· μετέπειτα δὲ, οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη· διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται. ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰηθείη τις ἂν ἅπαντας, ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται· ἡ δὲ ζωὴ, ἐνέργειά τις ἐστι· καὶ ἕκαστος B περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ καὶ μάλιστα ἀγαπᾷ· οἷον, ὁ μὲν μουσικὸς, τῇ ἀκοῇ περὶ τὰ μέλη· ὁ δὲ φιλομαθὴς, τῇ διανοίᾳ περὶ τὰ θεωρήματα· οὕτω δὲ καὶ τῶν λοιπῶν ἕκαστος. ἡ δὲ ἡδονὴ τελειοῦ τὰς ἐνεργείας· καὶ τὸ ζῆν δὲ, οὗ ὀρέγονται. εὐλόγως οὖν καὶ τῆς ἡδονῆς ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν, αἱρετὸν ὄν.

C

Κεφάλαιον ε.

ΠΟ´τερον δὲ διὰ τὴν ἡδονὴν τὸ ζῆν αἱρούμεθα, ἢ διὰ τὸ ζῆν τὴν ἡδονὴν, ἀφείσθω ἐν τῷ παρόντι. συνεζεῦχθαι μὲν γὰρ ταῦτα φαίνεται, καὶ χωρισμὸν οὐ δέχεσθαι· ἄνευ τε γὰρ ἐνεργείας, οὐ γίνεται ἡδονή· πᾶσάν τε ἐνέργειαν τελειοῖ ἡ ἡδονή. Ὅθεν δοκοῦσι καὶ τῷ εἴδει διαφέρειν· τὰ γὰρ ἕτερα τῷ εἴδει, D ὑφ' ἑτέρων οἰόμεθα τελειοῦσθαι· οὕτω γὰρ φαίνεται καὶ τὰ φυσικὰ, καὶ τὰ ὑπὸ τέχνης, οἷον ζῷα, καὶ δένδρα, καὶ γραφὴ, καὶ ἀγάλματα, καὶ οἰκία, καὶ σκεῦος. ὁμοίως δὴ καὶ τὰς ἐνεργείας τὰς διαφερούσας τῷ εἴδει ὑπὸ διαφερόντων τῷ εἴδει τελειοῦσθαι. διαφέρουσι δὲ αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις, καὶ αὗται ἀλλήλων κατ' εἶδος. καὶ αἱ τελειοῦσαι δὴ ἡδοναί. φανείη δ' ἂν τοῦτο καὶ ἐκ τοῦ E συνῳκειῶσθαι τῶν ἡδονῶν ἑκάστην τῇ ἐνεργείᾳ ἣν τελειοῖ. συναύξει γὰρ τὴν ἐνέργειαν ἡ οἰκεία ἡδονή· μᾶλλον γὰρ ἕκαστα κρίνουσι καὶ ἐξακριβοῦσιν οἱ μεθ' ἡδονῆς ἐνεργοῦντες· οἷον γεωμετρικοὶ γίνονται, οἱ χαίροντες τῷ γεωμετρεῖν, καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον· ὁμοίως δὲ καὶ φιλόμουσοι, καὶ φιλοικοδόμοι, καὶ τῶν ἄλλων ἕκαστοι, ἐπιδιδόασιν εἰς τὸ οἰκεῖον ἔρ- F γον, χαίροντες αὐτῷ. συναύξουσι δὴ αἱ ἡδοναί. τὰ δὲ συναύξοντα οἰκεῖα. τοῖς ἑτέροις δὲ τῷ εἴδει, καὶ τὰ οἰκεῖα, ἕτερα τῷ εἴδει. ἔτι δὲ, μᾶλλον τοῦτ' ἂν φανείη ἐκ τοῦ τὰς ἀφ' ἑτέρων ἡδονὰς ἐμποδίους ταῖς ἐνεργείαις εἶναι· οἱ γὰρ φίλαυλοι ἀδυνατοῦσι τοῖς λόγοις προσέχειν,

A poſtea verò non ſimili modo, hanc ob cauſam: quia primum incitatus animus eſt, in eorúmque operatione intentus, quemadmodum in viſu faciunt, qui inſpiciunt: poſtea verò operatio eiuſmodi non amplius fit, ſed neglecta. vnde etiam voluptas hebetatur. Omnes autem voluptatem appetere propterea vnuſquiſque exiſtimaret, quia viuere omnes appetunt. vita vero operatio quædam eſt. Et circa B ea vnuſquiſque & iis operatur, quæ vel maximè placent, vt muſicus auditu circa modulationes: diſcendi ſtudioſus mente circa contemplationes: atque ita ſinguli ex cæteris. voluptas verò operationes perficit: & viuere quoque ipſum, quod appetunt. meritò igitur voluptatem etiam appetunt, quippe quæ viuere ipſum quod expetendum eſt, perficiat.

CAPVT V.

VTrum verò vitam ob voluptatem, an voluptatem ob vitam expetamus, in præſentia omittatur. coniuncta enim hæc inter ſe ita ſunt, vt ſeparari nullo modo queant: quippe cùm & ſine operatione non fiat voluptas, & operationem omnem voluptas perficiat. Vnde differre etiam ſpecie videntur. quæ enim ſpecie diuerſa ſunt, à diuerſis perfici exiſtimamus, ita ſiquidem apparent & naturalia, & quæ ab arte efficiuntur. vt animalia, arbores, pictura, ſtatuæ, domus, vas. ſimili modo quoque diuerſas ſpecie operationes à ſpecie differentibus perfici putamus. mentis autem operationes ab iis quę ſunt ſenſuum, atque hæ inter ſeſe ſpecie differunt. quare etiam quæ ipſas perficiunt voluptates. Cóſtare autem hoc ex eo etiam poſſet, quòd voluptas vnaquæque operatione ei affinitate eſt coniuncta, quam perficit. ſimul enim operationem propria atque affinis voluptas auget: quippe cùm ſingula magis iudicent, abſoluántque exactius qui cum voluptate operantur. vt qui geometricis rationibus oblectantur, geometrici euadunt, & ſingula magis intelligunt, atque aduertunt. ſimili modo muſicæ ſtudioſi, & ædificandi, & cæteri alij in ſuo quiſq. opere proficiunt, dum eo oblectantur, ac gaudent. voluptates verò ſunt quæ incrementum exhibēt. at affinia ſunt & propria quę augent. quæ autem diuerſis ſpecie ſunt propria, inter ſe quoque ſpecie differunt. Magis prętereà inde hoc pateret, quòd voluptates quæ à diuerſis eueniunt, operationibus ſunt impediméto. ſtudioſi enim tibiarum orationibus attendere nequeūt,